νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀποβλέπει
εἰς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδόν,
ἐάν τε κλάῃς ἄν τε μή, πορεύεται.
τί οὖν πλέον ποιοῦμεν; [οὐδέν·] ἡ λύπη δ' ἔχει |
ὥσπερ τὰ δένδρα τοῦτο καρπόν, τὸ δάκρυον.' 106

ὁ δὲ παραμυθούμενος τὴν Δανάην δυσπαθοῦσαν Δίκτυς φησί (Eur. fr. 332)

'δοκεῖς τὸν Ἅιδην σῶν τι φροντίζειν γόων
καὶ παῖδ' ἀνήσειν τὸν σόν, εἰ θέλεις στένειν;
παῦσαι· βλέπουσα δ' εἰς τὰ τῶν πέλας κακά
ῥᾴων γένοι' ἄν, εἰ λογίζεσθαι θέλοις
ὅσοι τε δεσμοῖς ἐκμεμόχθηνται βροτῶν,
ὅσοι τε γηράσκουσιν ὀρφανοὶ τέκνων,
τούς τ' ἐκ μέγιστον ὀλβίας τυραννίδος
τὸ μηδὲν ὄντας. ταῦτά σε σκοπεῖν χρεών.'

κελεύει γὰρ αὐτὴν ἐνθυμεῖσθαι τὰ τῶν ἴσα καὶ μείζω χρεω- B
στούντων ὡς ἐσομένην ἐλαφροτέραν. (9.) ἐνταῦθα γὰρ ἄν τις ἑλκύσειε καὶ τὴν τοῦ Σωκράτους φωνήν, τὴν οἰομένην, εἰ συνεισενέγκαιμεν εἰς τὸ κοινὸν τὰς ἀτυχίας, ὥστε διελέσθαι τὸ ἴσον ἕκαστον, ἀσμένως ἂν τοὺς πλείους τὰς αὑτῶν λαβόντας ἀπελθεῖν. ἐχρήσατο δὲ τῇ τοιαύτῃ ἀγωγῇ καὶ Ἀντίμαχος ὁ ποιητής. ἀποθανούσης γὰρ τῆς γυναικὸς αὐτῷ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὑτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην, ἐξαριθμησάμενος τὰς